ΣΗΛΥΒΡΙΑΣ ΜΑΚΑΡΙΟΣ 1725



Τὸ κάτωθι πατριαρχικὸν καὶ συνοδικὸν γράμμα, φυλαττόμενον παρὰ τῷ προφρόνως πάνυ χορηγήσαντι ἡμῖν αὐτὸ πρὸς ἀντιγραφὴν περισπουδάστῳ συμπολίτῃ καὶ φίλῳ Δημητρίῳ Στουδίτῃ, εἰ καὶ οὐδὲν τὸ κοινὸν ἔχον καὶ ἄσχετον καὶ τοῦτο πρὸς τὰ προηγηθέντα ἔγγραφα τῆς Μητροπόλεως ἡμῶν, παρατίθεμεν ἐνταῦθα δίκην ἐπιδορπίου τῆς ἱστορικῆς ἡμῶν δαιτὸς ἐπί τε τῇ περιέργῳ ὑποθέσει καὶ τῇ μακρᾷ ἡλικίᾳ τῶν 160 ἐτῶν. Ἐπὶ κεφαλῆς, ὡς βλέπει ὁ ἀναγνώστης, ἐπιφαίνεται τὸ ὄνομα τοῦ πατριάρχου Ἱερεμίου, ὅστις, καθ' ἃ ἐκ τῆς χρονολογίας τοῦ γράμματος ἐξάγεται, ἐστὶν ὁ τῷ 1715 διαδεξάμενος κατὰ μῆνα Αὔγουστον Κοσμᾶν τὸν Γ', τὸν ἀπὸ Ἀλεξανδρείας, Ἱερεμίας ὁ Γ', ὁ ἀπὸ Καισαρείας Καππαδοκίας. Ὅ,τι καθίστησι τὸ γράμμα τοῦτο περίεργον καὶ χαρακτηριστικὸν τῆς ἐποχῆς ἐστιν ἡ μεγάλη συνοδικὴ κίνησις περὶ ἑνὸς ἁπλοῦ γυναικείου στασιδίου, ὅπερ ἕνεκα τῆς περιόπτου θέσεως αὐτοῦ, ὡς κειμένου κατ' ἀντικρὺ τοῦ πατριαρχικοῦ θρόνου, ἐξασφαλίζεται τῷ ἰατρῷ Τεσταμπούζᾳ διὰ τὴν ἀρχόντισσαν αὐτοῦ κοινῇ συνοδικῇ ἐπικυρώσει καὶ ἀποφάνσει, συνεφελκούσῃ ἀρὰς καὶ βάρη «ἀσυγγνώστου, καὶ ἀλύτου ἀφορισμοῦ» κατὰ τοῦ ἀντιποιησομένου αὐτοῦ.

Τὸ ἐν λόγῳ συνοδικὸν γράμμα ἔχει ὧδε·

† Ἱερεμίας Ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως
νέας ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

† Διὰ τοῦ παρόντος ἡμετέρου πατριαρχικοῦ, καὶ Συνοδικοῦ γράμματος γίνεται δῆλον, ὅτι ἐκ τῶν νεωστὶ κατασκευασθέντων γυναικείων στασιδίων ἐν τῷ καθ' ἡμᾶς πανσέπτῳ πατριαρχικῷ ναῷ, δεδώκαμεν ἤδη γνώμῃ κοινῇ Συνοδικῇ τῷ τιμιωτάτῳ, καὶ λογιωτάτῳ ἄρχοντι Ἰατρῷ σιὸρ Θωμᾷ τέσταμπούζᾳ (α) υἱῷ κατὰ πνα'' ἡμῶν ἀγαπητῷ, ἓν γυναικεῖον στασίδιον (β) διὰ τὴν ἀρχόντισσαν αὐτοῦ, ἐκ τοῦ ἀριστε-

---

(α) Περὶ τούτου ὅρα «Τὰ μετὰ τὴν ἅλωσιν» τοῦ Ὑψηλάντου ἐν σελίδι 341 καὶ 342.

(β) Τὸ στασίδιον τοῦτο οὐχ εὕρηται τανῦν ἐν τῇ αὐτῇ καὶ τότε θέσει, δυνάμει ὅμως τοῦ δημοσιευομένου συνοδικοῦ γράμματος ἠγοράσθη πρὸ χρόνων παρὰ τῆς προμήτορος τοῦ εἰρημένου συμπολίτου Δημητρίου Στουδίτη ἕτερον, πλησίον που τῆς ἀπέναντι τῆς ἱερᾶς πύλης σειρᾶς κείμενον καὶ ὑπ' αὐτοῦ κληρονομικῶς κατεχόμενον.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ροῦ χοροῦ τῆς ἐκκλησίας, ἀντικρὺ δηλαδὴ τοῦ ἡμετέρου πατριαρχικοῦ θρόνου κείμενον κατὰ πρόσωπον, καὶ βλέπον τὸ μεσαίτατον τοῦ ναοῦ. ὅπερ ἀρχόμενον μετρεῖσθαι ἀπὸ τοῦ ἔξωθεν μεγάλου τείχους τῆς ἐκκλησίας εὑρίσκεται δέκατον τέταρτον τῷ ἀριθμῷ στασίδιον, ἔχον παρακείμενα ἀμέσως, καὶ Συνημμένα ἐκ μὲν τοῦ ἑνὸς μέρους τὸ στασίδιον τῆς ἀρχοντίσσης κυράτζας ἑλενίτζας τοῦ μακαρίτου Δημητράκη σαράτζη, ἐκ δὲ τοῦ ἑτέρου μέρους τῆς κυράτζας μαριώρας συζύγου τοῦ μπασᾶ γιαννάκη ψάλτου. Τούτου χάριν καὶ γράφοντες ἀποφαινόμεθα Συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων, καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν, καὶ συλλειτουργῶν, ἵνα τὸ διαληφθὲν δέκατον τέταρτον ἀπὸ τοῦ τείχους στασίδιον κατὰ τὸ ἀριστερὸν μέρος τῆς ἐκκλησίας, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ὑπάρχῃ ὑπὸ τὴν χρῆσιν, καὶ δεσποτείαν τῆς ἀρχοντίσσης τοῦ ἄρχοντος Ἰατροῦ σιὸρ Θωμᾶ τέσταμπούζα, καὶ τῶν διαδόχων, καὶ κληρονόμων αὐτῶν ἀναφαίρετον, καὶ ἀναπόσπαστον παρὰ παντὸς προσώπου ἐν πάσαις ταῖς ἐκκλησιαστικαῖς Συνελεύσεσι, μηδενὸς πώποτε τολμῶντος ἀντιποιηθῆναι αὐτοῦ τοῦ στασιδίου οἱῳδήτινι τρόπῳ, καὶ ἀποσπᾶσαι αὐτὸ παρὰ τῆς αὐτοῦ λογιότητος ἐν Βάρει ἀσυγγνώστου, καὶ ἀλύτου ἀφορισμοῦ τοῦ ἀπὸ θεοῦ παντοκράτορος. ὅθεν εἰς ἔνδειξιν, καὶ διηνεκῆ ἀσφάλειαν τοῦ γνώμῃ κοινῇ Συνοδικῇ δοθῆναι πρὸς τὴν αὐτοῦ λογιότητα τὸ ῥηθὲν στασίδιον, ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν Συνοδικὸν γράμμα, καὶ ἐδόθη τῷ αὐτῷ ἄρχοντι λογιωτάτῳ Ἰατρῷ σιὸρ Θωμᾷ τέσταμπούζᾳ : – αψκε'ῳ : —

Ἐν Μηνὶ νοεμβρίῳ, Ἰνδικτιῶνος Δης :· (α)

† ὁ Ἡρακλείας Καλλίνικος. — † ὁ Κυζίκου Αὐξέντιος. — † ὁ Νικομηδείας Παΐσιος. — † ὁ Νικαίας Γεράσιμος. — † ὁ Χαλκηδόνος Νικόδημος. — † ὁ Ἀδριανουπόλεως Ἀθανάσιος. — † ὁ Σηλυβρίας Μακάριος. — † ὁ Πισιδίας Ματθαῖος. — † ὁ Ἀγχιάλου Καλλίνικος. — † ὁ Δρύστρας Σεραφείμ. — † ὁ Χίου Δανιήλ. — † ὁ Παλαιῶν Πατρῶν Δανιήλ. — † ὁ Μαρωνείας Ἀθανάσιος.

---

(α) Τὰ λίαν ἐπιμήκη καὶ παχέα ταῦτα γράμματά εἰσι γεγραμμένα χρωστῆρι ὑπὸ τοῦ πατριάρχου Ἱερεμίου ἀντὶ τῆς ἰδίας αὐτοῦ ὑπογραφῆς, ὡς εἴθισται ἐνίοτε.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ